**ANCIENT GREEK for EVERYONE**
**Unit 20**
**BIBLICAL READING**

The end of Revelation.

12 Ἰδοὺ ἔρχομαι ταχύ, καὶ ὁ μισθός μου μετ’ ἐμοῦ, ἀποδοῦναι ἑκάστῳ
ὡς τὸ ἔργον ἐστὶν αὐτοῦ. 13 ἐγὼ τὸ Ἄλφα καὶ τὸ Ὦ, ὁ πρῶτος καὶ ὁ
ἔσχατος, ἡ ἀρχὴ καὶ τὸ τέλος. 14 Μακάριοι οἱ πλύνοντες τὰς στολὰς
αὐτῶν, ἵνα ἔσται ἡ ἐξουσία αὐτῶν ἐπὶ τὸ ξύλον τῆς ζωῆς καὶ τοῖς
πυλῶσιν εἰσέλθωσιν εἰς τὴν πόλιν. 15 ἔξω οἱ κύνες καὶ οἱ φάρμακοι καὶ
οἱ πόρνοι καὶ οἱ φονεῖς καὶ οἱ εἰδωλολάτραι καὶ πᾶς φιλῶν καὶ ποιῶν
ψεῦδος. 16 Ἐγὼ Ἰησοῦς ἔπεμψα τὸν ἄγγελόν μου μαρτυρῆσαι ὑμῖν
ταῦτα ἐπὶ ταῖς ἐκκλησίαις. ἐγώ εἰμι ἡ ῥίζα καὶ τὸ γένος Δαυίδ, ὁ ἀστὴρ ὁ
λαμπρὸς ὁ πρωϊνός. 17 Καὶ τὸ πνεῦμα καὶ ἡ νύμφη λέγουσιν, Ἔρχου.
καὶ ὁ ἀκούων εἰπάτω, Ἔρχου. καὶ ὁ διψῶν ἐρχέσθω, ὁ θέλων λαβέτω
ὕδωρ ζωῆς δωρεάν. 18 Μαρτυρῶ ἐγὼ παντὶ τῷ ἀκούοντι τοὺς λόγους
τῆς προφητείας τοῦ βιβλίου τούτου· ἐάν τις ἐπιθῇ ἐπ’ αὐτά, ἐπιθήσει ἐπ’
αὐτὸν ὁ θεὸς τὰς πληγὰς τὰς γεγραμμένας ἐν τῷ βιβλίῳ τούτῳ· 19 καὶ
ἐάν τις ἀφέλῃ ἀπὸ τῶν λόγων τοῦ βιβλίου τῆς προφητείας ταύτης,
ἀφελεῖ ὁ θεὸς τὸ μέρος αὐτοῦ ἀπὸ τοῦ ξύλου τῆς ζωῆς καὶ ἐκ τῆς
πόλεως τῆς ἁγίας, τῶν γεγραμμένων ἐν τῷ βιβλίῳ τούτῳ. 20 Λέγει ὁ
μαρτυρῶν ταῦτα, Ναί, ἔρχομαι ταχύ. Ἀμήν, ἔρχου, κύριε Ἰησοῦ. 21 Ἡ
χάρις τοῦ κυρίου Ἰησοῦ μετὰ πάντων.

(Ἀποκάλυψις 22.12-21)

ἀστήρ –έρος ὁ star
ἀφέλῃ ~ ἀφεῖλε (*aorist*) < ἀφαιρέω take away
διψάω be thirsty
δωρεά -ᾶς ἡ gift
ἐάν ~ εἰ
εἰδωλολάτρης –ου ὁ servant of idols
εἰσέλθωσιν ~ εἰσῆλθον (3rd pl)
ἐπιθῇ ~ ἐπέθηκε < ἐπιτίθημι put on, add
ἵνα where, so that
κύων κυνός ὁ dog
λαμπρός –ά –όν bright, shining
μακάριος –α –ον blessed
μισθός –οῦ ὁ pay
νύμφη –ης ἡ bride
ξύλον –ου τό wood, tree
πληγή -ῆς ἡ beating, plague
πλύνω wash
πόρνος –ου ὁ sexual deviant
προφητεία –ας ἡ prophecy
πρωϊνός –ή –όν morning
πυλών -ῶνος ὁ gateway
ῥίζα –ης ἡ root
στολή –ῆς ἡ robe
φάρμακος –ου ὁ sorcerer
φονεύς –έως ὁ murderer
ψεῦδος –ους τό lying